# *ΠΕΡΣΑΙ*

## *ΧΟΡΟΣ*

*Τάδε μὲν Περσῶν τῶν οἰχομένων*
*Ἑλλάδ' ἐς αἶαν πιστὰ καλεῖται,*
*καὶ τῶν ἀφνεῶν καὶ πολυχρύσων*
*ἑδράνων φύλακες,*

---

Ὑπόθεσις. *Γλαῦκος ἐν τοῖς περὶ Αἰσχύλου μύθων ἐκ τῶν Φοινισσῶν Φρυνίχου φησὶ τοὺς Πέρσας παραπεποιῆσθαι. ἐκτίθησι δὲ καὶ τὴν ἀρχὴν τοῦ δράματος ταύτην ‚Τάδ' ἐστὶ Περσῶν τῶν πάλαι βεβηκότων'. πλὴν ἐκεῖ εὐνοῦχός ἐστιν ἀγγέλλων ἐν ἀρχῇ τὴν Ξέρξου ἧτταν, στορνύς τε θρόνους τινὰς τοῖς τῆς ἀρχῆς παρέδροις, ἐνταῦθα δὲ προλογίζει χορὸς πρεσβυτῶν. [τῶν δὲ χορῶν τὰ μέν ἐστι παροδικά, ὅτε λέγει δι' ἣν αἰτίαν πάρεστιν, ὡς τὸ ‚Τύριον οἶδμα λιποῦσα', τὰ δὲ στάσιμα, ὅτε ἵσταται καὶ ἄρχεται τῆς συμφορᾶς τοῦ δράματος, τὰ δὲ κομματικά, ὅτε λοιπὸν ἐν θρήνῳ γίνεται.] καὶ ἔστιν ἡ μὲν σκηνὴ τοῦ δράματος παρὰ τῷ τάφῳ Δαρείου, ἡ δὲ ὑπόθεσις Ξέρξης στρατευσάμενος κατὰ Ἑλλάδος, καὶ πεζῇ μὲν ἐν Πλαταιαῖς νικηθείς, ναυτικῇ δὲ ἐν Σαλαμῖνι, διὰ Θεσσαλίας φεύγων διεπεραιώθη εἰς τὴν Ἀσίαν.*

*Ἐπὶ Μένωνος τραγῳδῶν Αἰσχύλος ἐνίκα Φινεῖ, Πέρσαις, Γλαύκῳ, Προμηθεῖ.*

*Πρώτη ἔφοδος Περσῶν ἐπὶ Δαρείου ἐδυστύχησε περὶ Μαραθῶνα· δευτέρα Ξέρξου περὶ Σαλαμῖνα καὶ Πλαταιάς.*

---

**1.** *Διὰ γερόντων προλογίζει. τάδε] δεικτικῶς. τάδε μὲν Περσῶν] οἱ ὑπομνηματισάμενοί φασιν ὅτι ἑαυτοὺς λέγουσιν πιστώματα Περσῶν οἱ κατὰ τὸν χορόν. ἀγνοοῦσι δὲ ὅτι πόλις ἐστὶ Περσικὴ Πίστειρα, ἣν συγκόψας Πιστὰ ἔφη. οἱ δέ ἄλλως ὑπομνηματισάμενοί φασιν, ἡμεῖς ἐσμεν οἱ πιστοὶ χρηματοφύλακες Περσῶν.* **2.** *πιστὰ] Πίστειρα κατὰ συγκοπήν· ἔστι δὲ Περσικὴ πόλις.* **3.** *λείπει τὰ βασίλεια.* **4.** *φύλακες] λείπει τὸ ἐσμέν.*